Συναξάριον.
Τῇ ΚΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ὁσίας Παρθένου Καλῆς, τῆς ἐλεήμονος καὶ θαυματουργοῦ.
Στίχοι.
Καλῆς τὶ καλῶν πρωτίστως ἐπαινέσω;
Καλὰ γὰρ ἐν αὐτὴ πολλὰ συνέδραμον.
Κάλλος εἰκάδι δεύτερη καλῶν Καλῆς θέμις ὑμνέειν.
Στίχοι ἕτεροι εἰς τὸ λείψανον τῆς Ἁγίας Καλῆς, ὑπὸ Μανουὴλ Φιλῆ.
Ὁ πῆχυς οὗτος τῆς Καλῆς τῆς ὀλβίας,
Ὧ τοὺς μίτους ἔνηθε τῆς εὐποιΐας.
Αὕτη ἡ ἀοίδιμος Ὁσία πόθεν ἦν καὶ ἐκ τίνων ἔφυ γονέων ἤ καθ᾽ οὓς ἐγένετο χρόνους, οὐκ ἔχομεν εἰπεῖν, τῶν ὑπομνημάτων αὐτῆς συνδιαφθαρέντων τῷ χρόνῳ. Ἀπὸ τῆς Παλαιᾶς ὅμως Ἀκολουθίας αὐτῆς, ἀνεκδότου ἀποκειμένης ἐν τοῖς χειρογράφοις, ἐγνώσθη τὰ κατ' αὐτήν. Ἐκ τῆς Ἑῴας οὖν ὥρμητο, ἁγιασθεῖσα ἐξ αὐτῆς τῆς μήτρας, καὶ τὸν τρόπον τῇ καλωνύμῳ κλήσει σύμφωνον ἐπεδείξατο. Παρθενίας καὶ ἀσκήσεως γὰρ τὸν βίον ᾑρετίσατο, νηστείαις τε ἀγρυπνίαις, προσευχαῖς καὶ μελέτῃ τῶν ἱερῶν λογίων σχολάζουσα. Τρυφὴν δὲ διηνεκῆ τὰς ἐντολὰς Χριστοῦ κεκτημένη, τὴν ἀγάπην πρὸς πάντας ἐξέχεε, πένησι τὸν πλοῦτον σκορπίζουσα ἀμφοτέραις χερσί. Πεινῶντας γὰρ ἐξέθρεψε, γυμνοὺς περιέβαλε, ξένους τε ἀστέγους εἰσηγάγετο εἰς οἶκον, γενομένη ὀρφανῶν μήτηρ, τυφλῶν ὀφθαλμός, κυλλῶν τε παρειμένων ποὺς καὶ βακτηρία. Ὅθεν, ὡς δοξάσασα τὸν Θεόν, ὑπ᾽ αὐτοῦ ἐνδόξως δοξάζεται διὰ θαυματουργικῆς χάριτος. Διὸ κλιβάνῳ προσχωρησάσης αὐτῆς οὐδαμῶς ἥψατο τὸ πῦρ· φυρασάσης ποτὲ ζύμην ἕνεκα διανομῆς πρὸς τοὺς πτωχούς, ἐπληθυνθη τῆς ζύμης τὸ λεῖπον· ἵππον δὲ στρατιώτου τινὸς ἀποσκιρτήσαντα, ἑλκύσασα τοῦ ῥυτῆρος, ἀπέδωκεν ἕκοντα αὐτῷ. Ἀλλὰ καὶ ἰσχὺν πλουσίαν παρὰ Θεοῦ ἐδέξατο ἰατρεύειν παντοία νοσήματα καὶ καχεξίας, λώβην μελῶν, ἁρμονιῶν παραλύσιν, ῥευμάτων τε ἐπιχύσιν, τῶν πίστει αὐτὴν ἐπικαλουμένων καὶ πόθιυ προσιόντων τῷ ἁγίῳ αὐτῆς ναῷ.